10 γυνὴ τὸ παιδίον καὶ ἐθήλαζεν αὐτό. [10]ἁδρυνθέντος δὲ τοῦ παιδίου
εἰσήγαγεν αὐτὸ πρὸς τὴν θυγατέρα Φαραω, καὶ ἐγενήθη αὐτῇ εἰς
υἱόν· ἐπωνόμασεν δὲ τὸ ὄνομα αὐτοῦ Μωυσῆν λέγουσα Ἐκ τοῦ
ὕδατος αὐτὸν ἀνειλόμην.
11 [11]Ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ταῖς πολλαῖς ἐκείναις μέγας γενό-
μενος Μωυσῆς ἐξῆλθεν πρὸς τοὺς ἀδελφοὺς αὐτοῦ τοὺς υἱοὺς
Ισραηλ. κατανοήσας δὲ τὸν πόνον αὐτῶν ὁρᾷ ἄνθρωπον Αἰγύ-
πτιον τύπτοντά τινα Εβραῖον τῶν ἑαυτοῦ ἀδελφῶν τῶν υἱῶν Ισ-
12 ραηλ· [12]περιβλεψάμενος δὲ ὧδε καὶ ὧδε οὐχ ὁρᾷ οὐδένα καὶ πατά-
13 ξας τὸν Αἰγύπτιον ἔκρυψεν αὐτὸν ἐν τῇ ἄμμῳ. [13]ἐξελθὼν δὲ τῇ
ἡμέρᾳ τῇ δευτέρᾳ ὁρᾷ δύο ἄνδρας Εβραίους διαπληκτιζομένους
14 καὶ λέγει τῷ ἀδικοῦντι Διὰ τί σὺ τύπτεις τὸν πλησίον; [14]ὁ δὲ
εἶπεν Τίς σε κατέστησεν ἄρχοντα καὶ δικαστὴν ἐφ᾽ ἡμῶν; μὴ ἀνε-
λεῖν με σὺ θέλεις, ὃν τρόπον ἀνεῖλες ἐχθὲς τὸν Αἰγύπτιον; ἐφο-
βήθη δὲ Μωυσῆς καὶ εἶπεν Εἰ οὕτως ἐμφανὲς γέγονεν τὸ ῥῆμα
15 τοῦτο; [15]ἤκουσεν δὲ Φαραω τὸ ῥῆμα τοῦτο καὶ ἐζήτει ἀνελεῖν
Μωυσῆν· ἀνεχώρησεν δὲ Μωυσῆς ἀπὸ προσώπου Φαραω καὶ ᾤκη-
σεν ἐν γῇ Μαδιαμ· ἐλθὼν δὲ εἰς γῆν Μαδιαμ ἐκάθισεν ἐπὶ τοῦ
16 φρέατος. [16]τῷ δὲ ἱερεῖ Μαδιαμ ἦσαν ἑπτὰ θυγατέρες ποιμαίνου-
σαι τὰ πρόβατα τοῦ πατρὸς αὐτῶν Ιοθορ· παραγενόμεναι δὲ ἤν-
τλουν, ἕως ἔπλησαν τὰς δεξαμενὰς ποτίσαι τὰ πρόβατα τοῦ πα-
17 τρὸς αὐτῶν Ιοθορ. [17]παραγενόμενοι δὲ οἱ ποιμένες ἐξέβαλον αὐ-
τάς· ἀναστὰς δὲ Μωυσῆς ἐρρύσατο αὐτὰς καὶ ἤντλησεν αὐταῖς
18 καὶ ἐπότισεν τὰ πρόβατα αὐτῶν. [18]παρεγένοντο δὲ πρὸς Ραγουηλ
τὸν πατέρα αὐτῶν· ὁ δὲ εἶπεν αὐταῖς Τί ὅτι ἐταχύνατε τοῦ παρα-
19 γενέσθαι σήμερον; [19]αἱ δὲ εἶπαν Ἄνθρωπος Αἰγύπτιος ἐρρύσατο
ἡμᾶς ἀπὸ τῶν ποιμένων καὶ ἤντλησεν ἡμῖν καὶ ἐπότισεν τὰ πρό-
20 βατα ἡμῶν. [20]ὁ δὲ εἶπεν ταῖς θυγατράσιν αὐτοῦ Καὶ ποῦ ἐστι;
καὶ ἵνα τί οὕτως καταλελοίπατε τὸν ἄνθρωπον; καλέσατε οὖν αὐ-
21 τόν, ὅπως φάγῃ ἄρτον. [21]κατῳκίσθη δὲ Μωυσῆς παρὰ τῷ ἀνθρώ-
πῳ, καὶ ἐξέδοτο Σεπφωραν τὴν θυγατέρα αὐτοῦ Μωυσῇ γυναῖκα.
22 [22]ἐν γαστρὶ δὲ λαβοῦσα ἡ γυνὴ ἔτεκεν υἱόν, καὶ ἐπωνόμασεν Μωυ-
σῆς τὸ ὄνομα αὐτοῦ Γηρσαμ λέγων ὅτι Πάροικός εἰμι ἐν γῇ
ἀλλοτρίᾳ.
23 [23]Μετὰ δὲ τὰς ἡμέρας τὰς πολλὰς ἐκείνας ἐτελεύτησεν ὁ βασι-
λεὺς Αἰγύπτου. καὶ κατεστέναξαν οἱ υἱοὶ Ισραηλ ἀπὸ τῶν ἔργων

10 μωυση A | αυτον ανειλ.] tr. A || 11 εαυτου αδελφων] αδ. αυτου A || 13 συ > A || 14 μη] η A | εχθες τον αιγ.] τον αιγ. χθες A || 15 ωκησεν] pr. κατ A || 16 του πατρ. αυτων / ιοθορ $1^{0}$] tr. A | ιοθορ $2^{0}$ > A* || 17 εξεβαλλον B | και ηντλ. αυταις > A || 18 ραγουηλ] ιοθορ A | τι οτι] δια τι B || 19 ημων > A || 20 και $1^{0}$ > A | ουτως > B* || 21 μωυση B] -σει A: ambo mss. inter -ση et -σει fluctuant, ego ubique B sequor || 22 μωυσης > A | οτι > A

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/140 UNIVERSITÄT LEIPZIG